φαμὲν ὅτι ἄθλιός ἐστιν, ἐπειδὴ ὅλως εἰς τοιαύτην ἦλθεν ἀξίαν ὥστε παθεῖν, ἀθλιώτατος δὲ ἐκεῖνος ὁ ἀδικῶν καὶ κολάζων, ὃ ἀδίκως αὐτὸς ποιεῖ· ὁ μὲν γὰρ ἀδικούμενος ἀδίκως, εἰ καὶ δοκεῖ ἀδίκως κολάζεσθαι, οὐκ ἀδίκως πάσχει, ἐπειδὴ οὐδὲν ἄδικον ἐν τῷ παντὶ ἀλλὰ πάντως προήμαρτέν τι, ὃ οὐκ ἴσμεν· ἄθλιος δὲ ὁ ἀδικῶν, διότι ἀδίκως ὅσον τὸ ἐφ' ἑαυτῷ
3 κολάζει αὐτόν. εἰ δέ τις εἴποι· καὶ διὰ τί ὁ θεὸς τόνδε τινὰ ποιῶν κολάζει αὐτὸν ὡς προημαρτηκότα καὶ τῷ κολάσαντι ἐπιφέρει κολάσεις αὐτῷ ὡς ἀδίκως κολάζοντι· αὐτὸς γὰρ ἐκέλευσεν αὐτὸν κολάσαι ἐκεῖνον ὡς προημαρτηκότα· φαμὲν πρὸς τοῦτο, ὅτι δέδοται ἡμῖν τὸ αὐτοπροαίρετόν τε καὶ αὐτεξούσιον· ᾔδει οὖν ὁ θεὸς μέλλοντος αὐτοῦ τοῖς ἐπ' ἀγαθῷ δοθεῖσι πάθεσιν ἐπὶ κακῷ κεχρῆσθαι καὶ ὀργάνῳ αὐτῷ κακῷ κέχρηται δι' αὐτοῦ τὸν προημαρτηκότα ἰατρεύων· ἀθλιώτατος δέ ἐστιν, ὅτι ὅλως κακῶς ἐχρήσατο τοῖς πάθεσιν· ὥσπερ οὖν ὁ πολιτικὸς ἄρχων ἔχει ὑπ' αὐτὸν τὸν δήμιον καὶ κέχρηται αὐτῷ ὀργάνῳ εἰς τὸ φονεύειν, εἰ δὲ γνῷ, ὅτι δημίου πικρότερόν τι ἐποίησεν, κολάζει αὐτόν, οὕτω καὶ ὁ δημιουργὸς δέδωκε μὲν τὰ πάθη αὐτῷ, ἵνα ἐπ' ἀγαθῷ χρήσηται τῷ θυμῷ καὶ τῇ ἐπιθυμίᾳ· ἐπειδὴ δὲ ὑπὲρ τὸ δέον ἐχρήσατο, κολάζει αὐτόν· εἰ δέ τις εἴποι· πῶς οὖν ἀδικῶν οὐδὲν φορτικὸν ὑπομένει ἀλλὰ τὸ ἐναντίον καὶ παρρησιάζεται καὶ πλουτεῖ καὶ ἁρπάζει πάντα καὶ τιμᾶται, εἰπέ· ὅτι πρὸς τὸ σύμφερον ἀφορῶν ὁ θεὸς καιρὸν ζητεῖ· ὥσπερ γὰρ ὁ ἰατρὸς ἐπιχυθέντα τινὰ οὐκ εὐθέως ἰᾶται, ἀλλ' ἀναμένει ἄχρι ἂν ἴδῃ πεπηγὸς τὸ ὑγρὸν καὶ ὁ χρόνος τῆς ἀναβολῆς πρὸς ὠφέλειαν ὁρᾷ οὐ πρὸς βλάβην, οὕτω καὶ ὁ θεὸς ἐᾷ πρὸς πλείονα σωφρονισμόν· εἰ οὖν τις εἴποι· ὁ δεῖνα ἀδικῶν καλῶς πράττει, μὴ ταύτην εὐδαιμονίαν ἡγήσῃ ἀλλὰ λέγε· ἢ ὅτι ἐν τῇ προβιωτῇ ἦν εὖ πράξας καὶ διὰ τοῦτο γερῶν ἀξιοῦται ἢ ὅτι οὐκ ἔστιν αὕτη ὄντως εὐδαιμονία, ἀλλὰ πάντως συμβήσεταί τι μοχθηρὸν αὐτῷ, ὅ τε οἶδεν συμφέρειν.

---

1 mg. λύσις 7 mg. ἀπορία 11 mg. λύσις 12 mg. ση. 21 mg. ἀπορία 23 mg. λύσις 28 mg. ψευδὴς ἀπολογία 30 mg. αὕτη ἀληθής

---

8 καὶ τῷ κολάσαντι] om. mg. ad. M° 14 αὐτοῦ] post αὐ ÷ in ras.